Ακαδημία Αθηνών / Academy of Athens

**στηρίζεσθαι.** Στηρίζομαι, be supported, Ἐμπεδοκλῆς 27.3 *οὕτως Ἁρμονίης πυκινῷ κρύφῳ ἐ σ τ ή ρ ι κ τ α ι Σφαῖρος κυκλοτερής.*

**στιβαρός.** Στιβαρός, steady, Ἐμπεδοκλῆς 82.2 *λεπίδες γίγνονται ἐπὶ σ τ ι β α ρ ο ῖ σ ι μέλεσσιν.*

**στιβάς.** Στρῶμα, mattress, Δημόκριτος 246 *μᾶζα γὰρ καὶ σ τ ι β ὰ ς λιμοῦ καὶ κόπου γλυκύτατα ἰάματα.*

**στόλος.** Πρόβαση/έκθεση, procedure/exposure, Ἐμπεδοκλῆς 17.26 *σὺ δ' ἄκουε λόγου σ τ ό λ ο ν οὐκ ἀπατηλόν.*

**στόμα.** Στόμα, mouth, Ἡράκλειτος 92 *Σίβυλλα δὲ μαινομένῳ σ τ ό μ α τ ι... ἀγέλαστα... φθεγγομένη* Ἐμπεδοκλῆς 3.2 *ἐκ δ' ὁσίων σ τ ο μ ά τ ω ν καθαρὴν ὀχετεύσατε πηγὴν* 39.3 *εἴπερ ἀπείρονα γῆς τε βάθη καὶ δαψιλὸς αἰθήρ, ὡς διὰ πολλῶν δὴ γλώσσας ἐλθόντα ματαίως ἐκκέχυται σ τ ο μ ά τ ω ν ὀλίγον τοῦ παντὸς ἰδόντων* Ἀρχύτας 1.42-43 *καὶ ἔν γα τοῖς αὐλοῖς τὸ ἐκ τῶ σ τ ό μ α τ ο ς φερόμενον πνεῦμα ἐς μὲν τὰ ἐγγὺς τῶ σ τ ό μ α τ ο ς τρυπήματα ἐμπῖπτον διὰ τὰν ἰσχὺν τὰν σφοδρὰν ὀξύτερον ἆχον ἀφίησιν.*

**στόμιον.** Στόμιο, mouth, Ἐμπεδοκλῆς 100.3 *καί σφιν ἐπὶ σ τ ο μ ί ο ι ς πυκιναῖς τέτρηνται ἄλοξιν ῥινῶν ἔσχατα τέρθρα διαμπερές.*

**στοναχή.** Στεναγμός, sigh, Ἐμπεδοκλῆς 124.2 *τοίων ἔκ τ' ἐρίδων ἔκ τε σ τ ο ν α χ ῶ ν ἐγένεσθε.*

**στοργή.** Στοργὴ/ἀγάπη, affection/love, Ἐμπεδοκλῆς 109.3 *γαίῃ μὲν γὰρ γαῖαν ὀπώπαμεν ... σ τ ο ρ γ ὴ ν δὲ σ τ ο ρ γ ῇ.* Πρβλ. *Φιλότης, νεῖκος.*

**στροφάλιγξ.** Δίνη/περιστροφή, whirl, Ἐμπεδοκλῆς 35.4 *ἐν δὲ μέσῃ Φιλότης σ τ ρ ο φ ά λ ι γ γ ι γένηται.* Πρβλ. *δίνη, δῖνος.*

**στρυφνός.** Στυφός, sour, Δημόκριτος A 135 (DK II 118,13) τὸν δὲ σ τ ρ υ φ ν ὸ ν ἐκ μεγάλων σχημάτων καὶ πολυγωνίων καὶ περιφερὲς ἥκιστ' ἐχόντων. Πρβλ. *δριμύς, ὀξύς.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ